## 23 NOIEMBRIE
## ANTONIOS MARKOU

# SLUJBA SF.IERARH MITROFAN, EPISCOPUL VORONEJULUI

ATENA,2021


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 23 Νοεμβρίου
# Ἀκολουθία Ἁγίου ΜΗΤΡΟΦΑΝΟΥΣ, Ἐπισκόπου Βορονέζ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Ἀσματικῶς συνελθόντες* πιστοὶ τιμήσωμεν* Χριστοῦ τόν Ἱεράρχην* καὶ στερρὸν στρατιώτην,* Μητροφάνην τὸν θεῖον καὶ πρὸς αὐτόν* ἀνακράξωμεν λέγοντες·* μὴ διαλείπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν* τῶν τιμώντων σου τὴν κοίμησιν.

Φῶς οὐρανόθεν κατῆλθεν* ἐν τῷ λειψάνῳ σου,* ἐμφαῖνον ἀριδήλως* ἣν ἐπλούτησας δόξαν,* Μητρόφανες τρισμάκαρ ὡς τοῦ Χριστοῦ* μαθητής ἐνθεώτατος,* Ὃν ἐκδυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν* τῶν τιμώντων σου τὴν κοίμησιν.

Εὐφραίνου, τέρπου ἡ πόλις* Βορόνεζ, σκίρτησον·* ἐκ σοῦ γὰρ ἀνεφύη* ὁ λαμπρὸς Ἱεράρχης,* εὔοσμον ὡς κρίνον πάντας πιστούς* ἡδυπνόοις ἀσκήσεσιν* εὐωδιάζων καὶ πάθη φθοροποιά* ἀπελαύνων θείᾳ χάριτι.

Εὐαγγελίου τὸν λόγον* ψυχῇ δεξάμενος,* τῆς ἐν Βορονέζ ὤφθης* Ἐκκλησίας ἁγίας,* ὑπόδειγμα πρὸς ζῆλον θεῖον, σεπτέ,* καὶ ἀγάπην τὴν κρείττονα·* διὸ γεραίρομεν, Ὅσιε, τὴν κλεινήν* εὐλαβῶς καὶ θείαν μνήμην σου.

Δόξα. Ὁ αὐτός.

Ἐν τῇ πανδήμῳ καὶ πανευσήμῳ πανηγύρει* τῆς σεβασμίας σου μνήμης,* Μητρόφανες Πάτερ,* ἐν ψαλμοῖς καὶ ὕμνοις χορεύοντες* οἱ τοῦ Βορονέζ οἰκήτορες,* δοξάζομεν θεοπρεπῶς τὸν Δεσπότην Χριστὸν,* τὸν ὑπὲρ τῶν πολλῶν σου καμάτων* καὶ τῆς ἀνενδότου μαρτυρίας,* τὴν τῶν θαυμάτων καὶ ἰαμάτων σοι χάριν δωρήσαντα,* Ῥωσίας τὸ καύχημα* καὶ ἡμῶν τὸ ἥδυσμα.* Ὅθεν συνελθόντες χορείαν ἐπικροτοῦμεν* καί ἐν ᾠδαῖς καὶ ὕμνοις εὐφημοῦντές σε λέγομεν·* ἀξιΰμνητε Πάτερ,* ἱκέτευε δωρηθῆναι ἱλασμόν* πᾶσι τοῖς πόθῳ τιμῶσι* τὴν παναοίδιμον μνήμην σου* καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καί νῦν. Τῆς Ἑορτῆς. Ἦχος πλ. δ΄.

Ὁ Δαυΐδ προανεφώνει Σοι, Ἄχραντε,* προορῶν τήν ἀφιέρωσιν* τῆς εἰσόδου Σου ἐν τῷ Ναῷ,* ἐν ᾗ τά πέρατα σήμερον ἑορτάζοντα* δοξολογοῦσί Σε, Πανύμνητε.* Τήν γάρ πρό τόκου Παρθένον* καί μετά τόκον μείνασαν ἄφθορον,* Μῆτερ τοῦ Λόγου τῆς ζωῆς,* σήμερον ἐν τῷ Ναῷ εἰσερχομένην,* ὁ Ζαχαρίας εὐφραίνεται* ἀπολαβών Σε, Δέσποινα,* καί τά Ἅγια τῶν Ἁγίων ἀγάλλονται,* ὑποδεξάμενά Σε τήν τροφόν τῆς ζωῆς ἡμῶν.* Διό καί ἡμεῖς ἐν ᾠδαῖς ἐκβοῶμέν Σοι·* ὑπέρ ἡμῶν δυσώπησον τόν Υἱόν Σου καί Θεόν ἡμῶν,* δωρηθῆναι ἡμῖν τό μέγα ἔλεος.

Εἰς τόν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὅλως ἀλλοιωθείς* Χριστοῦ θείᾳ προνοίᾳ,* ἔγνως Αὐτὸν Σωτῆρα,* Μητρόφανες παμμάκαρ,* καὶ Τούτῳ ἠκολούθησας.

Στ. *Οἱ Ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Ῥωσία εὐφημεῖ* καί Βορονέζ ἡ πόλις* τὴν βιοτήν σου, Πάτερ·* τῆς μέν γὰρ γόνος πέλεις* καί ἐν τῇ δευτέρᾳ ἡγίασας.

Στ. *Θαυμαστὸς ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ξίφει τῶν ἀρετῶν* τοῦ δράκοντος καθεῖλες,* Μητρόφανες, τοῦ ἀρχαίου* δόκανα καί παγίδας,* πνοῇ τοῦ θείου Πνεύματος.

Δόξα. Τριαδικόν.

Ἕνα Σε τοῦ παντός* Θεὸν, Τριὰς Ἁγία,* ὁ Μητροφάνης ἔγνω·* διό καί διά βίου* Σήν δόξαν ἐμεγάλυνε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Φῶς Σε τό τριλαμπές* ἀνάψαν, Θεοτόκε,* ἐν τῷ Ναῷ τῆς δόξης,* οὐράνιον τροφήν Σοι* ἐκμπέμπει μεγαλύνον Σε.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια.

Τῆς Ἑορτῆς. Ἦχος δ'.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τό προοίμιον* καί τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις.* Ἐν Ναῷ τοῦ Θεοῦ* τρανῶς ἡ Παρθένος δείκνυται* καί τόν Χριστόν τοῖς πᾶσι προκαταγγέλεται.* Αὐτῇ καί ἡμῖν μεγαλοφώνως βοήσωμεν·* χαῖρε τῆς οἰκονομίας* τοῦ κτίστου ἡ ἐκπλήρωσις.

Δόξα. Τοῦ Ἁγίου. Ἦχος γ'. Θείας πίστεως.

Βίον ἅγιον ἐμφρόνως ἔχων* ἱεράτευσας* Θεῷ ὁσίως,* θεοπόθητε Πάτερ Μητρόφανες·* καὶ γεωργῶν τῆς ἀγάπης τὸ

πλήρωμα* σόν ἱερὸν ἡμῖν κατέλειπες λείψανον,* Πάτερ Ὅσιε,* τεκμήριον κοινῆς Ἀναστάσεως* καί τῆς ἐν τῷ πόλῳ καταπαύσεως.

Καί νῦν. Πάλιν τῆς Ἑορτῆς.

Ἀπόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Δεῦτε νῦν φιλέορτοι* καί Ὀρθοδόξων πᾶν σύστημα,* συμφώνως τιμήσωμεν* Κυρίου θεράποντα* Μητροφάνην θεῖον,* ὅστις ἐν Ῥωσίᾳ,* διά εὐχῆς καί ἱλασμῶν,* τῆς Βασιλείας Χριστοῦ ἐπέτυχεν·* διό καί νῦν γεραίρεται* καί ὑπό πάντων δοξάζεται,* Βορονέζ ὡς θεόπεμπτος* πολιοῦχος Ἐπίσκοπος.

Μονή ἐγένου τοῦ Κτίσαντος,* κατά Κυρίου τό λόγιον,* κηρύττων τοῖς ἔργοις σου,* Πατέρα τόν Ἄναρχον* καί τόν τούτου Λόγον,* ἅγιε Πάτερ,* καί τό Πανάγιον ὁμοῦ,* ἐν σοί σκηνῶσαν,* Πνεῦμα Παράκλητον·* διό καί μακαρίζεσαι* χρεωστικῶς καί γεραίρεσαι,* ὡς λυτρούμενος ἅπαντας,* πάσης βλάβης καί λύμης τε.

Ὡς πατέρα πολύτεκνον,* ἐν ταυτῷ καί καλλίγονον,* ἀνυμνοῦμεν γεραίροντες* τάς πόθῳ τοῦ Κτίσαντος* σάς

πολλάς ἀσκήσεις·* τήν τε εὐποιΐαν,* φιλανθρωπίαν συχεχῆ* καί ἀδυνάτων* διά βίου στήριξιν·* διό καί μακαρίζομεν* καί σέ προστάτην κηρύττομεν,* τῶν τρυχομένων τοῖς πάθεσι,* τῇ ἐνεργείᾳ ἀλάστορος.

Ἕτερα. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀρχιερεύς θεοπόθητος* καὶ ἐν τῇ πίστει στερρότατος,* τῶν Ἁγίων σύμφυτος ἐχρημάτισας,* Πατέρων ὡράϊσμα,* Μητρόφανες ἔνδοξε,* καὶ καθεῖλες τοῦ ἐχθροῦ* συμμαχίᾳ τοῦ Πνεύματος,* τὴν παράταξιν·* διὰ τοῦτο τῆς ἄνω Βασιλείας* κληρονόμος ἀνεδείχθης* καὶ πρεσβευτὴς τῶν ψυχῶν ἡμῶν.

Τῆς Ῥωσίας ἀγλάϊσμα,* Βλαδιμήρ τό ἀνάστημα* καὶ τῆς καλλιπόλεως ἥ κατέχει σου* Βορονέζ θεῖον λείψανον,* βλαστὸς εὐθαλέστατος* καὶ υἱὸς θεοειδής* καθωράθης Μητρόφανες* καὶ ἐπεύφρανας* τοῖς λαμπροῖς σου ἀγῶσιν Ἱεράρχα* τὴν τοῦ Λόγου Ἐκκλησίαν,* μεγαλοφώνως τιμῶσάν σε.

Ὡς πηγὴν ἁγιάσματος* καὶ ἑστίαν χρηστότητος,* τό θεοχαρίτωτον, Πάτερ, δέμας σου,* εὐφραινομένη κατέχουσα* ἡ ἕδρα σου, Ἅγιε,* καὶ ἐκ τούτου δαψιλῶς* καρπουμένη τὰ κρείττονα,* πόθῳ κράζει σοι·* σύ μοι σκέπη ὑπάρχεις, Ἱεράρχα,* προμηθεὺς καὶ ἀντιλήπτωρ* καὶ ἀρωγὸς εὐμενέστατος.

Δόξα. Ἦχος δ'.

Τόν νοερόν τῆς Ἐκκλησίας ἀδάμαντα,* δεῦτε φιλέορτοι,* Μητροφάνην τιμήσωμεν τόν ἐν Βορονέζ·* ἐκ Ῥωσίας μέν τόν ὁρμώμενον,* πανταχόθεν δέ νῦν τιμώμενον,* ὅτι τοῖς ἔργοις τῆς ἀγάπης Χριστόν

εὐηρέστησεν,* τόν πλησίον διακονήσας,* νηστεύων ἵνα ἔχῃ* καί εὐχόμενος ἵνα λάβῃ.* Ἐπί τῷ τέλει δέ* εἰρηνικῶς τό ζῆν ἐκμετρήσας,*
τήν μακαρίαν αὐτοῦ ψυχήν* εἰς χεῖρας Κυρίου ἐναπέθ ετο,* τό δέ σῶμα αὐτοῦ εἰς χεῖρας Πέτρου τοῦ Ἄνακτος,* ὅστις ἦρε τοῦτο κατά τήν αὐτοῦ ἐκφοράν.* Καί νῦν ἐν οὐρανοῖς,* τῷ θρόνῳ παριστάμενος τῆς Τριάδος,* αἰτεῖται ὑπέρ ἡμῶν εἰρήνην * καί τό μέγα ἔλεος.

Καί νῦν. Τῆς Ἑορτῆς. Ἦχος πλ. δ'.

Μετά τό τεχθῆναί Σε,* Θεόνυμφε Δέσποινα,* παρεγένου ἐν Ναῷ Κυρίου,* τοῦ ἀνατραφῆναι εἰς τά Ἅγια τῶν Ἁγίων,* ὡς ἡγιασμένη.* Τότε καί Γαβριήλ ἀπεστάλη* πρός Σέ τήν Πανάμωμον,* τροφήν κομίζων Σοι.* Τά οὐράνια πάντα ἐξέστησαν,* ὁρῶντα τό Πνεῦμα το Ἅγιον* ἐν Σοί σκηνῶσαν.* Διό, Ἄσπιλε, Ἀμόλυντε,* ἡ ἐν οὐρανῷ καί ἐπί γῆς δοξαζομένη,* Μήτηρ Θεοῦ,* σῶζε τό γένος ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ' 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ

ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 15 - στ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον˙ λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα˙ ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν˙ συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι˙ ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως˙ ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε˙ μάθετε δικασταὶ περάτων γῆς˙ ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ΄ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τὴν Λιτὴν, Ἰδιόμελα.

Ἦχος α΄.

Ἐφραίνου ἐν Κυρίῳ* τοῦ Βλαδιμὴρ ἡ περίοικος,* ἡ δὲ τοῦ Βορονέζ Ἐπισκοπή* κατ᾽ ἐξαίρετον σκίρτα·* ἐκ μέν γάρ τῆς πρώτης ἐβλάστησεν,* ὡς φοῖνιξ ἀειθαλὴς καὶ γλυκύκαρπος,* ὁ εἰς ἔπαινον προκείμενος* Μητροφάνης ὁ θεῖος Ἱεράρχης·* εἰς δέ τήν δευτέραν ἀξίως ἐπισκοπεύσας,* παγκαρπίαν ἁγιότητος* τῇ Ἐκκλησίᾳ πλουσίως ἀπέδωκεν·* ὅθεν, τῶν καρπῶν αὐτοῦ γευομένη* γραφικῶς βόησον* ταῖς κύκλῳ πόλεσιν·* ἔλθετε οἱ πλησίον καὶ φάγετε* καὶ νοητῶς ἐμπλήσθητε* ἐκ τῶν ἀθανάτων ἀγαθῶν,* ὧν ἡμῶν ἡτοίμασεν* ὁ εὐκλεής μου Ἐπίσκοπος.* Ὁ τοῦτον δοξάσας Κύριος,* ταῖς αὐτοῦ ἱκεσίαις,* παράσχου ἡμῖν εἰρήνην* καὶ τό μέγα ἔλεος.

Ἦχος β'.

Τῷ φωτὶ τῶν ἀρετῶν* καταλαμπρύνας τὸν νοῦν,* ὡς υἱὸς φωτὸς ἐπορεύθης* τὴν τρίβον τῆς ζωῆς, Μητρόφανες Ὅσιε·* ἐν τῷ νόμῳ γὰρ τοῦ Θεοῦ* ἡμέρας καὶ νυκτὸς μελετήσας,* τοῦ Ἁγίου Πνεύματος τοὺς καρποὺς ἐξήνεγκας,* δι' ὧν τῶν μὲν πιστῶν τὰς διανοίας εὐφραίνεις,* τῆς ἐν Χριστῷ δὲ οἰκειώσεως* τὰς χάριτας ἐκφαίνεις* καὶ πάντας διεγείρεις* βοᾷν τῷ Σωτῆρι·* Κύριε, δόξα Σοι.

Ἦχος γ'.

Γνῶσιν τήν ἀληθῆ* παρὰ τοῦ Χριστοῦ δεξάμενος,* ὡς φῶς τῷ κόσμῳ ἐξέλαμψας,* Μητρόφανες Πατήρ ἡμῶν οὐρανοπόθητε·* τῇ τοῦ Πνεύματος γὰρ χάριτι,* τῶν ὑπὲρ λόγον μυστηρίων τὴν μύησιν δεξάμενος,* τούς ἀμυήτους λαοὺς ἐμυσταγώγησας* τῆς εὐσεβείας τὸ μέγα μυστήριον·* καὶ καλῶς διαγαγὼν τὴν δεδομένην τοῦ Ἐπισκόπου ἀξίαν,* τῆς ἄνω Βασιλείας ἠξίωσαι* παρὰ Χριστοῦ τοῦ Θεοῦ* καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Τῷ τῆς ἀληθείας ἀρότρῳ* τὰς ψυχικὰς ἀρούρας γεωργήσας,* πολύχοον καρπὸν Χριστῷ προσήγαγες,* ὡς γεωργὸς πρακτικώτατος,* Μητρόφανες τοῦ Βορονέζ Ἐπίσκοπε·* τῆς γὰρ ἀσεβείας τὴν πλάνην ἐξέτεμες* καὶ εὐσεβείας τὰ ἄνθη περιεποιήσω,* ἐν ταῖς καρδίαις τῶν πιστῶν,* τῶν δεξαμένων τῆς θείας γνώσεως τὴν ὀδμὴν* τῶν διδαχῶν σου τῇ χάριτι, ἔνδοξε.

Δόξα. Ἦχος πλ. α΄.

Δαβιτικὴν ἀναλαβόντες κινύραν,* ᾆσμα καινὸν ᾄσωμεν* Μητροφάνει τῷ τοῦ Βορονέζ Ἐπισκόπῳ·* νέας γὰρ πανηγύρεις* τῇ Ἐκκλησίᾳ προεξένησεν,* ἐν τοῖς ἐσχάτοις ὁσιακῶς βιώσας.* Αὐτῷ οὖν βοήσωμεν·* Πάτερ Ἅγιε,* ὡς ὁλικῶς τὸν νοῦν τοῖς ἄνω ἀνατείνων,* τελείως τῶν χαμαὶ συρομένων χωριζόμενος* νῦν ἡμᾶς εὐωδιάζεις* ὀδμαῖς τοῦ ἀφθάρτου λειψάνου σου* καὶ πρεσβεύεις, θειότατε,* ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος πλ. α΄. Λέοντος Μαΐστορος.

Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος* καί ἑορτή πανσεβάσμιος.* Σήμερον γάρ ἡ πρό τόκου Παρθένος* καί μετά τόκον Παρθένος μείνασα,* ἐν τῷ Ναῷ προσάγεται·* καί χαίρει Ζαχαρίας ὁ πρέσβυς,* ὁ γενέτης τοῦ Προδρόμου* καί βοᾷ γηθοσύνως·* ἤγγικεν ἡ προσδοκία τῶν θλιβομένων,* ἐν Ναῷ ἁγίῳ, ὡς Ἁγία,* ἀφιερωθῆναι εἰς κατοίκησιν τοῦ Παντάνακτος.* Εὐφραινέσθω Ἰωακείμ ὁ προπάτωρ* καί ἡ Ἄννα ἀγαλλιάσθω,* ὅτι προσήνεγκαν Θεῷ,* ὡς τριετίζουσαν δάμαλιν,* τήν ἀμώμητον Δέσποιναν.* Μητέρες συγχάρητε, παρθένοι σκιρτήσατε καί στεῖραι συγχορεύσατε·* ὅτι ἠνέῳξεν ἡμῖν τήν οὐρανῶν Βασιλείαν,* ἡ προορισθεῖσα Παντάνασσα.* Χαίρετε λαοί καί ἀγαλλιᾶσθε.

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις,* Ἱεραρχῶν καλλονή,* τοῦ Βορονέζ ὁ περιώνυμος Πρόεδρος,* Ῥωσίας τῆς Ἐκκλησίας* ὁ διαυγὴς ὀφθαλμός,* ταπεινοφροσύνης ὕψος ἔνθεον·* ἠθῶν καθαρότητος* φυτοκόμος ὁ ἄριστος,* βίου ἁγίου* ὑποφήτης θεόληπτος,* πρακτικότατος* ἐγκρατείας διδάσκαλος·* σκεῦος τὸ πολυτίμητον* τῶν θείων ἐλλάμψεων,* τὸ τῆς

ἀγάπης ταμεῖον,* τὸ τῆς πραότητας σκήνωμα,* Μητρόφανες Πάτερ,* ὁ παρέχων τοῖς αἰτοῦσι* χάριν καὶ ἔλεος.

Στ. *Οἱ Ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαίροις,* Ἀρχιερεῦ τοῦ Χριστοῦ,* ὁ τῶν Ἀγγέλων συμπολίτης καὶ σύσκηνος,* Βορονέζ τό θεῖον ἄνθος,* ὁ εὐωδιάζων ἡμᾶς* ταῖς ὀδμαῖς τοῦ ἀφθάρτου* νῦν λειψάνου σου·* Χριστοῦ εὐωδία γάρ* ἐν εὐποιΐᾳ γενόμενος,* ὀδμῆς ἁγίας* τὸν ἀέρα ἐνέπλησας* ἐν τῷ δίδοσθαι* σήν ψυχήν τῷ Κυρίῳ σου·* ὅθεν ὡς ἄστρον πάμφωτον* ὡράθης, Μητρόφανες,* τοῖς καθαροῖς τῇ καρδίᾳ,* είς οὐρανοὺς ἀνερχόμενος·* καὶ νῦν ἐκδυσώπει* φωτισμὸν ἡμῖν δοθῆναι* καὶ θεῖον ἔλεος.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις,* τοῦ Βορονέζ ὁ φωστήρ,* τῶν ἀρετῶν τὸ διαυγὲς ἀκροθύνιον,* ἡ στάθμη τῆς εὐσπλαγχνίας,* ἐλεημοσύνης κανών,* ποταμὸς θαυμάτων θείων ἔμπλεως,* ἐξ ὧν καταρδεύεται* τῶν πιστῶν τά συστήματα,* πρὸς εὐκαρπίαν* ψυχικὴν καὶ σωτήριον* καὶ αἰσχρῶν παθῶν* ἀποπλύνεται βόρβορος.* Ἄνθρωπε ἐπουράνιε,* ἐπίγειε Ἄγγελε* ὄντως, Μητρόφανες Πάτερ,* τῆς εὐποιΐας διδάσκαλε·* Χριστόν καταπέμψαι* ταῖς ψυχαῖς ἡμῶν εὐχαῖς σου* ζήτει τό ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Ποιμαντικῇ σοφίᾳ φαιδρύνας τὸν βίον σου,* διαπρεπὴς ἐν Ἱεράρχαις,* Μητρόφανες, πέφηνας·* καὶ ἀληθεῖ ὁσιότητι* τὴν ἀποστολικὴν ἐξουσίαν* λαμπροτέραν ἐργασάμενος,* Εὐαγγελικῶς ηὔξησας* τὸ δοθέν σοι τάλαντον·* καὶ νῦν τῆς

δόξης τοῦ Κυρίου σου* ἀνακεκαλυμμένως τρυφῶν,* πρέσβευε δεόμεθα* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος πλ. β΄. Σεργίου Ἁγιοπολίτου.

Σήμερον τά στίφη τῶν πιστῶν συνελθόντα* πνευματικῶς πανηγυρίσωμεν* καί τήν Θεόπαιδα Παρθένον καί Θεοτόκον,* ἐν Ναῷ Κυρίῳ προσαγομένην,* εὐσεβῶς ἀνευφημήσωμεν·* τήν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν,* εἰς κατοικητήριον τοῦ Παντάνακτος Χριστοῦ* καί Θεοῦ τῶν ὅλων.* Παρθένοι, λαμπαδηφοροῦσαι προπορεύεσθε,* τῆς Ἀειπαρθένου τιμῶσαι* τήν σεβάσμιον πρόοδον.* Μητέρες, λύπην πᾶσαν ἀποθέμεναι,* χαρμονικῶς συνακολουθήσατε,* ὑμνοῦσαι τήν Μητέρα τοῦ Θεοῦ γενομένην* καί τῆς χαρᾶς τοῦ κόσμου τήν πρόξενον.* Ἅπαντες οὖν χαρμονικῶς* τό χαῖρε σύν τῷ Ἀγγέλῳ* ἐκβοήσωμεν τῇ Κεχαριτωμένῃ,* τῇ ἀεί πρεσβευούσῃ* ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια.

Τῆς Ἑορτῆς. Ἦχος δ΄.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τό προοίμιον* καί τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις.* Ἐν Ναῷ τοῦ Θεοῦ* τρανῶς ἡ Παρθένος δείκνυται* καί τόν Χριστόν τοῖς πᾶσι προκαταγγέλεται.* Αὐτῇ καί ἡμῖν μεγαλοφώνως βοήσωμεν·* χαῖρε τῆς οἰκονομίας* τοῦ κτίστου ἡ ἐκπλήρωσις.

Δόξα. Τοῦ Ἁγίου. Ἦχος γ΄. Θείας πίστεως.

Βίον ἅγιον ἐμφρόνως ἔχων* ἱεράτευσας* Θεῷ ὁσίως,* θεοπόθητε Πάτερ Μητρόφανες·* καὶ γεωργῶν τῆς ἀγάπης τὸ

πλήρωμα* σόν ἱερὸν ἡμῖν κατέλειπες λείψανον,* Πάτερ Ὅσιε,* τεκμήριον κοινῆς Ἀναστάσεως* καί τῆς ἐν τῷ πόλῳ καταπαύσεως.

Καί νῦν. Πάλιν τῆς Ἑορτῆς.

Ἀπόλυσις.

## ΟΡΘΡΟΣ

Μετὰ τὴν α᾿ Στιχολογίαν, Κάθισμα. Ἦχος α᾿. Τὸν τάφον Σου, Σωτήρ.

Τὴν μνήμην σου, σοφέ,* τὴν ἁγίαν τελοῦντες,* ὑμνοῦμεν εὐσεβῶς* τοὺς σεπτούς σου ἀγῶνας* καὶ πίστει ἐκβοῶμέν σοι,* θεῖε Πάτερ Μητρόφανες·* Χριστῷ πρέσβευε* δοῦναι ἡμῖν, Ἱεράρχα,* θείαν ἔλλαμψιν* καὶ ἱλασμὸν τῶν πταισμάτων* καὶ βίου διόρθωσιν.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Δικαίων ὁ καρπός* Ἰωακείμ καί τῆς Ἄννης,* προσφέρεται Θεῷ* Ἱερῷ ἐν ἁγίῳ,* σαρκί νηπιάζουσα,* ἡ τροφός τῆς ζωῆς ἡμῶν,* Ἥν ηὐλόγησε* ὁ ἱερός Ζαχαρίας.* Ταύτην ἅπαντες,* ὡς τοῦ Κυρίου Μητέρα,* πιστῶς μακαρίσωμεν.

Μετὰ τὴν β᾿ Στιχολογίαν, Κάθισμα. Ἦχος δ᾿. Κατεπλάγη Ἰωσήφ.

Ἀρχιερέων τοὺς χορούς* σὺ κατελάμπρυνας, σοφέ·* μοναστῶν τὰς ἀκοάς* σὺ κατεκάλλυνας, σεπτέ,* ὑμνολογῶν καθ᾿ ἑκάστην ἀπὸ καρδίας,* Ἄνακτα Θεὸν* Παντοκράτορα,* Παρθένον ἀγαθήν,* τὴν Παντάνασσαν* καὶ τῶν Ἁγίων

ἅπαντας τοὺς δήμους* καὶ τῶν Ἀγγέλων τὰ τάγματα.* Διὸ ἀγάλλῃ* ἐν Παραδείσῳ* μένων εἰς τοὺς αἰῶνας.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Πρό συλλήψεως, Ἁγνή,* καθηγιάσθῃς τῷ Θεῷ* καί τεχθεῖσα ἐπί γῆς,* δῶρον προσήχθῃς νῦν Αὐτῷ,* ἀποπληροῦσα πατρώαν ἐπαγγελίαν.* Τῷ θείῳ δέ Ναῷ,* ὡς θεῖος ὄντως ναός,* ἐκ βρέφους καθαρῶς,* μετά λαμπάδων φαιδρῶν,* ἀποδοθεῖσα ὤφθης δοχεῖον,* τοῦ ἀπροσίτου καί θείου φωτός.* Μεγάλη ὄντως* ἡ πρόοδός Σου,* μόνη Θεόνυμφε καί Ἀπειρόγαμε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τό προσταχθέν μυστικῶς.

Τόν Ἱεράρχην τόν σεπτόν ἀγαλλιάσει,* τοῦ Βορονέζ τόν θεοπόθητον Ποιμένα,* Μητροφάνην τόν θεσπέσιον εὐφημοῦντες,* ἱκετεύσωμεν αὐτόν ἵνα πρεσβείαις του,* ἐλεήσῃ ἡμᾶς ὁ πάντων Κύριος·* αὐτόν γάρ σχόντες πρεσβευτήν* εὐγνωμόνως κράζομεν·* χαῖρε Πάτερ θεσπέσιε.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἀγαλλιάσθω ὁ Δαυῒδ ὁ ὑμνογράφος* καί χορευέτω Ἰωακείμ σύν τῇ Ἄννῃ,* ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε,* Μαρία ἡ φωτοφόρος θεία λαμπάς·* καί χαίρει εἰσερχομένη ἐν τῷ Ναῷ·* Ἥν καί βλέπων ηὐλόγησεν ὁ Βαραχίου υἱός* καί χαίρων ἀνεκραύγαζε·* χαῖρε θαῦμα παγκόσμιον.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην (Κεφ. ι᾽ 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Ὁ Ν᾽ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου…

Καί νῦν. Ταῖς τῆς Θεοτόκου…

Προσόμοιον. Ἦχος πλ. β᾽. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Βίου τὴν τερπνότητα* καὶ τὰ ὁρώμενα πάντα* ὑπερβὰς τῇ χάριτι* καὶ πρὸς τὰ νοούμενα* καὶ ἀσάλευτα* μεταβὰς,

Ἅγιε,* καθαρῶς τῷ μόνῳ* Καθαρῷ τε προσωμίλησας,* νοὸς ὀξύτητι* καὶ τῇ τῆς ψυχῆς καθαρότητι,* ὡς Ἄγγελος δ' ἐβίωσας* καὶ μετὰ τῆς ὕλης ὁρώμενος·* καὶ νῦν τῷ Δεσπότῃ* τῶν ὅλων παριστάμενος Χριστῷ,* ἐν παρρησίᾳ ἱκέτευε* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς Ἑορτῆς ὁ πρῶτος καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· *ΑΝΤΩΝΙΟΥ.*

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ταῖς θείαις λαμπόμενος ἀστραπαῖς,* Μητρόφανες Πάτερ,* φωτοφόροις σου τε εὐχαῖς,* παράσχου ἀκτῖνά μοι σοφίας,* ἀνευφημοῦντι σόν βίον καί θαύματα.

Νεκρώσας τὰ πάθη τὰ τῆς σαρκός* ἐζώωσας, Πάτερ,* τὰς δυνάμεις τὰς τῆς ψυχῆς·* θανὼν δὲ τῆς φύσεως τῷ νόμῳ* ἡμῖν σόν δέμας κατέλειπες ἄφθαρτον.

Ὁ βίος σου ἄμωμος τῷ Θεῷ* ἔργοις ἐναρέτοις* καὶ ἀσκήσει θεοειδεῖ,* Μητρόφανες Πάτερ, καθωράθη* καὶ ὥσπερ φῶς τοῖς ἐν Ῥωσίᾳ ἐξέλαμψεν.

Θεοτοκίον.

Ἄνασσα Κόρη, ὑπερφυῶς,* τέτοκας τόν Λόγον* ὁμοούσιον τῷ Πατρί* καὶ Πνεύματι ἅμα· διὸ πάντες,* ὡς Θεοτόκον ἀεὶ μακαρίζομεν.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἐνασκήσας νομίμως* πᾶσαν ἰσχὺν ἤσχυνας* ἀρχεκάκου θηρός διαβόλου,* σεπτὲ Μητρόφανες·* διὸ ἀπάλλαξον* πάσης φθορᾶς καὶ ἀνάγκης,* τοὺς τῇ προστασίᾳ σου* πιστῶς προστρέχοντας.

Ῥῶσιν πᾶσι παρέχει* καὶ φωτισμὸν, Ἅγιε,* καὶ ἁγιασμὸν τό σόν δέμας* ψυχῆς καὶ σώματος,* ᾧ καταφεύγοντες* πάσης ἀνάγκης καὶ βλάβης* τάχος ἐκλυτρούμεθα* τῇ ἀντιλήψει σου.

Ὡς συντρίψας τὸ κράτος* τοῦ δυσμενοῦς, Ἅγιε,* οὕτω καθ' ἡμῶν τὴν μανίαν* τούτου κατάβαλε,* δυνάμει κρείττονι* καὶ ἐν εἰρήνῃ τελείᾳ* τὴν ζωὴν κυβέρνησον* ἡμῶν, Μητρόφανες.

Θεοτοκίον.

Νεῦσον, Κυρία Παρθένε,* ἡ τόν Κύριον τέξασα,* σπεῦσον νῦν καί λύτρωσαι πάντας* πασῶν ἐκ θλίψεων·* σύν σοί δέ φέρομεν,* πρός Κύριον πρεσβείαν,* Μητροφάνην ἔνδοξον,* Βορόνεζ καύχημα.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὰ ἐπίγεια πάντα καταλιπών* καὶ ἐν κόσμῳ ὑπάρχων σωματικῶς,* τῷ πνεύματι γέγονας* τῶν Ἀγγέλων συνόμιλος·* τὰ γὰρ ψυχοφθόρα* νεκρώσας τοῦ σώματος,* τῆς Τριάδος ἐδείχθης θεράπων, Μητρόφανες·* ὅθεν καὶ νοσούντων* θεραπεύεις τὰ πάθη* καὶ λόγῳ τὰ πνεύματα* ἀπελαύνεις τῇ χάριτι,* Ἱεράρχα θεόστεπτε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.

Καταλείψας ἐμφρόνως τὰ ἐπὶ γῆς* καὶ σαυτὸν ἀρνησάμενος νουνεχῶς,* τὸ χεῖρον τῷ κρείττονι* ὁλικῶς καθυπέταξας* καὶ δωρεῶν ἀΰλων ἐπλήσθης, Μητρόφανες,* δοχεῖον τὴν ψυχήν σου τελέσας τοῦ Πνεύματος.* Ὅθεν καὶ

ἐπὶ πᾶσιν* ἐφαπλῶν τὴν σὴν χάριν,* τὰ θεῖα δωρήματα* διανέμεις τοῖς χρῄζουσι,* Ἱεράρχα θεόληπτε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαυῒδ,* τίς ἡ παροῦσα ἑορτή·* Ἥν ἀνύμνησας ποτέ,* ἐν τῷ Βιβλίῳ τῶν Ψαλμῶν,* ὡς Θυγατέρα, Θεόπαιδα καὶ Παρθένον,* ἀπενεχθήσονται εἰπών* τῷ Βασιλεῖ μυστικῶς,* παρθένοι ὄπισθεν Αὐτῆς* καὶ αἱ πλησίον Αὐτῆς* καὶ θαυμαστήν ἐργάζου καὶ παγκόσμιον* τήν ἑορτήν τοῖς κραυγάζουσι·* ἡ Θεοτόκος* ἡμῖν ἐπέστη,* τῆς σωτηρίας ἡ πρόξενος.

ᾨδή δ΄. Εἰσακήκοα, Κύριε.

Ἱκετήρια ᾄσματα,* Μητρόφανες θεῖε,* φαιδρῶς σοί ἄδομεν,* εἰς πατέρα εὐσυμπάθητον,* τόν ἡμᾶς ἐλεοῦντα πρεσβείαις σου.

Ταπεινός καὶ φιλάδελφος,* Μητρόφανες Πάτερ,* ἀγάπης πρότυπον,* ἀνεδείχθης ἐν τοῖς ἔργοις σου,* ὁδηγῶν ἡμᾶς πρὸς τήν τελείωσιν.

Μητροφάνη ἀνέδειξας* τὴν φιλανθρωπίαν τὴν θεοφίλητον,* ἐν τοῖς λόγοις καὶ τοῖς ἔργοις σου,* διά βίου, Πάτερ, σοί θεράπαιναν.

Θεοτοκίον.

Τῆς Μητρός Σου δεήσεσι,* Μητροφάνους τε θείου, Κύριε δώρησαι,* τοῖς ἱκέταις Σου τὴν ἄφεσιν,* τῶν πλημμελημάτων, Ὑπεράγαθε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Σκεῦος ἐκλεκτόν* γεγονός τοῦ θείου Πνεύματος,* ἐκ τῆς χάριτος μετέδωκας Αὐτοῦ* ταῖς ψυχαῖς ἡμῶν, θεόστεπτε Μητρόφανες.

Ὅσοι τῶν πιστῶν* προσιοῦσι τῷ λειψάνῳ σου,* τῷ ἀφθάρτως τηρουμένῳ, θαυμαστέ,* ἐκλαμβάνουσι ἰάσεων δωρήματα.

Ῥύπων ψυχικῶν* ἀπεκάθηρας, Μητρόφανες,* ἐπομβρίαις τῶν σεπτῶν σου πρεσβειῶν* τάς ψυχάς τῶν προστρεχόντων σοι ἐκ πίστεως.

Θεοτοκίον.

Ὡράϊσόν με, Ἁγνή,* ταῖς ἀκτῖσι τοῦ προσώπου Σου,* τὸ καθαρὸν Χριστοῦ παλάτιον* καὶ καθορᾶν με τῆς μορφῆς Αὐτοῦ ἀξίωσον.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Σαρκός σου* νεκρώσας κίνημα ἅπαν* καί νοός τάς ῥυπαράς ἐνοχλήσεις,* τοῦ Παρακλήτου ἐγένου δοχεῖον,* τοῦ Βορονέζ ὁ θεόπτης Ἐπίσκοπος·* ἔλαβες δέ παρὰ τοῦ Θεοῦ,* Μητροφάνη χάριν ὄντως ἐξαί-ρετον.

Μνημονεύεις* πάντων ἡμῶν Ἀρχιθύτα,* τῇ οὐρανίῳ ἱστάμενος Τραπέζῃ,* μέσον χοροῦ Ἱεραρχῶν καί Πατέρων,* τοῖς τῷ Κυρίῳ τόν αἶνον προσφέρουσι·* πρέσβυς γάρ ὑπάρχεις πρός Αὐτόν* τῶν δεομένων, Πάτερ θεσπέσιε.

Θαυματουργίαις* ἐνυπάρχων τῷ κόσμῳ* ἐπετέλεις ἐν τῇ θείᾳ δυνάμει·* πρὸς τόν Θεὸν δέ μεταστάς, Μητροφάνη,*

θαυματουργεῖς ἰώμενος πάντοτε* τοὺς προσιόντας εὐλαβῶς* πρός τήν θήκην τοῦ ἀφθάρτου λειψάνου σου.

Θεοτοκίον.

Νενίκημαι,* ὑπό παθῶν τῶν τοῦ βίου* τῶν ἀκαθάρτων, ἅ μολύνουσι, Μῆτερ,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* παρηγορίας πηγή παρηγόρησον,* τόν δάκρυσι καί στεναγμοῖς* κατατρυχόμενον, Κόρη Πανύμνητε.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Θείας ἀγάπης τὴν λαμπρὰν τοῖς πᾶσι σάλπιγγα,* φιλανθρωπίας τοῦ Θεοῦ τῷ κόσμῳ κήρυκα,* ἐπαινέσωμεν ἀξίως τόν Μητροφάνην·* τοῦ Κυρίου μαρτυρίαν τὸν βαστάσαντα* καὶ λαοῖς Αὐτόν κηρύξαντα τοῖς θαύμασι·* αὐτῷ κράζοντες·* χαίροις, Πάτερ Μητρόφανες.

Ὁ Οἶκος.

Ἄγγελος ἀνεδείχθης ἐπὶ γῆς διατρίβων μετὰ σώματος, Μητρόφανες Πάτερ· τὰ γὰρ θεῖα προκρίνας ἐν γῇ, ἔσχες ἐν οὐρανῷ τήν ἀντίδοσιν· διὸ πάντες θαμβούμενοι, σοὶ μέλπομεν ἐκ πόθου τάδε·

Χαίροις, ὁ ἐνυπάρχων τῶν πιστῶν λαμπρότης·

χαίροις, ὁ ἐντυγχάνων τῆς Ἐκκλησίας φαιδρότης.

Χαίροις, ἁγνείας σεπτὸν δοχεῖον·

χαίροις, Τριάδος σεπτῆς ταμεῖον.

Χαίροις, μοναζόντων Ἁγίων ἐκσφράγισμα·

χαίροις, Ἀρχιερέων καί Ποιμένων ἀγλάϊσμα.

Χαίροις, θάλασσα γαλήνιος ἐννοιῶν πνευματικῶν·

χαίροις, πέλαγος εὐρύχωρον μυστηρίων θεϊκῶν.

Χαίροις, ἀπάνθισμα ὡραιότατον Βορονέζ τῆς ἕδρας·

χαίροις, ἀγλάϊσμα τερπνότατον οὐρανίου καθέδρας.

Χαίροις, ὑπόδειγμα τῶν σεπτῶς μοναζόντων·

χαίροις, προστάτα τῶν ἐν πίστει βοώντων·

Χαίροις, Πάτερ Μητρόφανες.

Συναξάριον.

Τῇ 23η τοῦ αὐτοῦ μηνός μνήμη τοῦ Ἁγίου Μητροφάνους τοῦ Θαυματουργοῦ, Ἐπισκόπου Βορονέζ τοῦ ἐν Ῥωσίᾳ.

Στίχοι.

*Θαυμάτων πηγήν ἔγνωμεν, Πάτερ,*

*Σόν δέμας ὅ ἄφθαρτον ἡμῖν διαμένει.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Πύργον ἄσειστον, Πάτερ,* καί ἑδραίωμα θεῖον καί καταφύγιον* τό σόν ἄφθαρτον δέμας* κατέχων ὁ ναός σου* λυτροῦται πάσης ὀργῆς* τούς αὐτῷ προσιόντας ἐκ πίστεως.

Ἐκ δεινῆς ῥαθυμίας* καί παθῶν τυραννίδος πιστούς ἀπήλλαξας,* διδάξας εὐθυπόρως* τήν τρῖβον βηματίζειν* ἐντολῶν τοῦ Θεοῦ ἡμῶν,* ὅπως τῆς ἄνω ζωῆς ἐπιτύχωσιν.

Ῥύεις ἀπό κινδύνων* τῶν νῦν ἐπερχομένων,* ἐφ’ ἡμᾶς τούς ἀνιάτως νοσήσαντας,* σεπτῆς Ῥωσίας κλέος,* Βορονέζ πολιοῦχε,* ὁ φιλαδέλφως δεόμενος πάντοτε.

Θεοτοκίον.

Ἴασιν δώρησαί μοι,* ὡς καί παρηγορίαν,* τῶν προστρεχόντων Σοι πίστει ἡ πρόμαχος·* Σοί γάρ προσπίπτω κράζων·* μνήσθητι τοῦ λαοῦ Σου·* Σύ πρόφθασον, Πάντιμε Δέσποινα.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἐν οὐρανίῳ* ὁ Μητροφάνης τῷ θρόνῳ* τὸν Χριστὸν σὺν Ἀγγέλοις γεραίρει* καὶ ὑμνεῖ ἐνθέως,* εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὸ τὴν σκέπην* ὁ Μητροφάνης τῆς Κόρης* ὑπέμεινε δαιμόνων τήν μανίαν,* ἀνυμνῶν ἀπαύστως* Χριστὸν εἰς τοὺς αἰῶνας.

Χαῖρε Βορόνεζ* πανευκλεές Ἱεράρχα* Μητρόφανες Ποιμένων ὁ κόσμος,* ἐλπίς τῶν προσκυνούντων* Χριστὸν, ὡς Θεὸν Λόγον. _

Θεοτοκίον.

Ὅρμησον πάντας,* Παρηγορήτισσα Κόρη,* παρηγορίᾳ τῇ Σῇ ἐν οὐρανίῳ ὅρμῳ* γαλήνης διαρκοῦς,* πρεσβείαις πρός Υἱόν Σου.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Θαυματουργίας χάριν* δαψιλῶς παρέχεις* τοῖς τρυχομένοις ποικίλοις νοσήμασι,* ὦ Μητροφάνη,* Βορόνεζ τὸ καύχημα.

Ὡς ἔχων παρρησίαν,* Μητρόφανες Πάτερ,* πρὸς τὸν Σωτῆρα Χριστὸν καθικέτευε,* τοὺς σὲ τιμῶντας ῥυσθῆναι* ἐκ πάσης θλίψεως.

Τήν δέησιν προσδέχου* καὶ ταῖς σαῖς πρεσβείαις* τοῦ αἰωνίου πυρός με ἐξάρπασον,* θαυματουργὲ Μητροφάνη,* τὸν σὲ ὑμνήσαντα.

Θεοτοκίον.

Ὑπέρ τῶν Σέ ὑμνούντων* μή παύῃ, Θεοτόκε,* τοῦ ἱκετεύειν ἐλέους τόν Πρύτανην,* τοῦ ἐλεῆσαι καί σῶσαι τούς δούλους Σου.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸ ἱλαρόν Μητρόφανες* καὶ καθαρώτατον ὁρῶν* τῆς διανοίας, ὁ πάντων* γινώσκων τὰς ἐνθυμήσεις,* φωστῆρα κόσμῳ δεικνύει* σὲ, τοῦ Βορόνεζ τὸ κλέος.

Θεοτοκίον.

Τὸν Ποιητὴν τῶν αἰώνων* καὶ τῶν Ἀγγέλων Δεσπότην* ἀποτεκοῦσα, Παρθένε,* Τοῦτον ἱκέτευε δεῖξαι* τῆς δεξιᾶς παραστάτας* μερίδος τοὺς Σοὺς ἱκέτας.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α᾽. Τῶν οὐρανίων Ταγμάτων.

Τῶν φιλεόρτων τὰ πλήθη* δεῦτε συνδράμωμεν* καὶ στέψωμεν ἐν ὕμνοις* τὸν σεπτόν Ἱεράρχην,* ῥύστην καὶ προστάτην ἐν πειρασμοῖς,* Μητροφάνην τὸν ἔνδοξον·* τό θεῖον δέμας δέ τούτου πανευλαβῶς* ἅμα πάντες προσκυνήσωμεν.

Βορόνεζ πόλις ἀγάλλου* σὺν τοῖς οἰκήτορσι* τοῖς σοῖς, λαμπρῶς τελοῦσα* τὴν σεπτὴν καὶ φωσφόρον* μνήμην Ἱεράρχου καὶ οἰκιστοῦ* καὶ λαμπροῦ πολιούχου σου* καὶ ὑπὲρ σοῦ πρέσβυν τοῦτον πρὸς τὸν Χριστόν* πρόβαλλε ἐν περιστάσεσιν.

Τοὺς ἐκτελοῦντας ἐκ πόθου* τὴν θείαν μνήμην σου,* Μητρόφανες θεόπτα,* Βορονέζ πολιοῦχε,* φύλαττε ἐκ βλάβης παντοδαπῆς* ψυχῆς ἅμα καὶ σώματος* καὶ Βασιλείας ἀνάδειξον κοινωνούς* ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Ἡμᾶς τούς ἔχοντας, Πάτερ,* τμῆμα λειψάνου σου,* τοῦ ἀφθάρτως τηρουμένου* εὐδοκίᾳ Κυρίου,* εἰς ἔνδειξιν μελλούσης πᾶσι κοινῆς* Ἀναστάσεως, ἔνδοξε,* τήρει εὐχαῖς σου ἁγίαις πρός τόν Θεόν* ἀπειράστους περιστάσεων.

Δόξα. Ἦχος πλ. α΄.

Ἐξ ἐγγάμων ἔφθασας* πρός Ἐπισκόπου καθέδραν,* τήν ἀρετήν ὡς κλίμακα* χρησάμενος, Ἅγιε,* δι᾿ αὐτῆς ἀνελθών* εἰς ὕψος ἁγιότητος·* ἐν τῇ Μονῇ γάρ τοῦ Ζολοτίνσκ ἐνασκήσας,* πρός τήν τοῦ Βορονέζ ἕδραν εἶτα ἐχώρησας,* πρῶτος αὐτῆς γενόμενος Ἐπίσκοπος.* Ἔνθα τῇ εὐποιΐᾳ θεραπεύσας τόν Κύριον,* ὑπ᾿ Αὐτοῦ ἐδέξω τήν τῆς θαυματουργίας χάριν,* δι᾿ ἧς εἶτα τόν λαόν ἐθεράπευσας,* ἔτι ἐν τῇ ζωῇ ὑπάρχων,* ἀλλά καί μετά πότμον.* Ἐν φωναῖς ἐγκωμίων οὖν εὐλογοῦντές σε ἀνακράζωμεν·* Μητρόφανες θεοδόξαστε,* μεσίτευσον ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν καὶ Δεσπότην,* ἵνα ῥύσηται ἡμᾶς κολάσεως* ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος β΄. Λέοντος Μαΐστορος.

Σήμερον τῷ Ναῷ προσάγεται* ἡ Πανάμωμος Παρθένος,* εἰς κατοικητήριον τοῦ Παντάνακτος Θεοῦ* καί πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ.* Σήμερον τό καθαρώτατον ἁγίασμα,* ὡς τριετίζουσα δάμαλις,* εἰς τά Ἅγια τῶν Ἁγίων εἰσάγεται.* Ταύτῃ ἐκβοήσωμεν,* ὡς ὁ Ἄγγελος·* χαῖρε μόνη ἐν γυναιξίν εὐλογημένη.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις, ὁ δεξάμενος τῇ ψυχῇ,* φῶς τοῦ Παρακλήτου* τό φωτίζον καί ὁδηγοῦν·* Μητρόφανες χαίροις,* τοῦ Βορονέζ τό κλέος·* ἀλήθειαν Κυρίου* δίδου τοῖς λόγοις σου.

Στίχοι·

*Ἁγίαις σου εὐχαῖς τείχισον τόν ὑμνοῦντα,*

*τήν σήν βιοτήν, Βορονέζ Ποιμενάρχα,*

*Μητρόφανες σεπτέ, θαυματουργέ, Ῥωσίας*

*Ἁγίας τῆς ποτέ τό κλέος καί ἡ δόξα.*

